λάσσειν τὸν ἀρχιερέα. — ὁ ῥεφερενδάριος, εἰς τὸ ἀποστέλλεσθαι εἰς τὸν βασιλέα (1), καὶ εἰς μέγαν ἄρχοντα. — ὁ ὑπομνηματογράφων, εἰς τὸ γράφειν τὰ ὑπομνήματα.

Ἡ τρίτη πεντάς (2)· — ὁ ἱερομνήμων, εἰς τὸ βλέπειν τὰς εὐχὰς ὄπισθεν τοῦ ἀρχιερέως, κρατῶν τὸν ἐνθρονιασμὸν καὶ τὸ κοντάκιον τῆς χειροτονίας (3). — ὁ ἐπὶ τῶν γονάτων (4), κρατῶν τὸ ἐπιγονάτιον τοῦ ἀρχιερέως. — ὁ ἐπὶ τῶν δεήσεων ἀπέρχεται εἰς τὸν βασιλέα ὑπὲρ τῶν ἀδικουμένων (5). — ὁ ἐπὶ τῶν σεκρέτων, εἰς τὸ παύειν τὸν λαὸν ἐπὶ τὸ κρίνειν (6). — ὁ ἐπὶ τῆς ἱερᾶς καταστάσεως, εἰς τὸ ποιεῖν εὐταξίαν ἐντὸς τοῦ βήματος (7).

Ἡ τετάρτη πεντάς· ὁ ὑπομιμνήσκων, εἰς τὸ ἐνθυμίζειν τὸν ἀρχιερέα μυστικῶς (8). — ὁ διδάσκαλος τοῦ Εὐαγγελίου, ἑρμηνεύων αὐτό· — ὁ διδάσκαλος τοῦ ἀποστόλου, ἑρμηνεύων αὐτόν· — ὁ διδάσκαλος τοῦ ψαλτηρίου, εἰς τὸ ἑρμηνεύειν αὐτό. — ὁ ῥήτωρ, εἰς τὸ ἑρμηνεύειν τὰς Γραφὰς (9).

Ἡ πέμπτη (10) πεντάς· ὁ ἄρχων τῶν μοναστηρίων, ἔχων μετὰ τοῦ μεγάλου σακελλαρίου τὴν τῶν μοναστηρίων ἐνοχήν. — ὁ ἄρχων τῶν Ἐκκλησιῶν, ἔχων τὴν ἐνοχὴν τῶν Ἐκκλησιῶν μετὰ τοῦ σακελλίου. — ὁ ἄρχων τοῦ Εὐαγγελίου, εἰς τὸ κρατεῖν τοῦτο εἰς τὰς λιτάς. — ὁ ἄρχων τῶν φώτων, ἔχων τὴν ἐνοχὴν τῶν νεοφωτίστων (11). — ὁ ἄρχων τῶν ἀντιμινσίων, εἰσάγων τοὺς εἰσερχομένους εἰς τὴν ἁγίαν μετάληψιν (12).

Ἡ ἕκτη πεντάς· ὁ πρῶτος ὀστιάριος, κρατῶν τὰς θύρας εἰς

(1) ἀναφορεὺς τῶν πρὸς βασιλέα μηνυομένων. — (2) δευτέρα πεντάς. I. — (3) ἄλλως κρατεῖ καὶ τὸ κοντάκιον, καὶ τὸν κώδικα τῶν χειροτονιῶν. — (4) κρεμᾷ τὸ ἐπιγονάτιον τοῦ ἀρχιερέως. — (5) ἄλλως· φορένων τῷ πατριάρχῃ τὸ ἐπιγονάτιον· ἀναφέρων τῷ πατριάρχῃ τὰς τῶν δεομένων ἀναφοράς, πεμπόμενος πρὸς τὸν βασιλέα μετὰ τοῦ ῥεφερενδαρίου. — (6) καθιστῶν τὸ πατριαρχικὸν σέκρετον ἀθόρυβον καὶ ἀτάραχον, εἰσάγων τοὺς κρινομένους. I. — (7) λέγων λειτουργοῦντος τοῦ πατριάρχου τὸ, Στῶμεν καλῶς. I. — (8) τρίτη πεντάς· ὁ ὑπομιμνήσκων, ἀσχολούμενος τῷ πατριάρχῃ ἐν τῇ λειτουργίᾳ τὰς εὐχὰς καθ' ἑκάστην ὑπομιμνήσκειν. I. — (9) γράφων λόγους διδασκαλικοὺς ἀπὸ προσώπου τοῦ ἀρχιερέως. — (10) τετάρτη πεντὰς τῶν ἱερῶν ἀρχόντων. I. — (11) ἀναδεχόμενος τοὺς εἰς τὸ βάπτισμα εὐτρεπιζομένους, διδοὺς καὶ τὰ κηρία τοῖς κληρικοῖς ἐν ταῖς δεσποτικαῖς ἑορταῖς. I. εἰσάγει τοὺς νεοφωτίστους. II. — (12) διδοὺς τὰ ἀντιμίνσια δι' ὧν καθιεροῦνται οἱ θεῖοι ναοί. I.